λύτρον] εἰσενεγκεῖν αὐτῷ ἐκέλευέ με εἰς τὰ λύτρα. ut ad pretium, quo ipse redimeretur e captivitate, partem pecuniæ ego conferrem. 1248, 25. 1249, 5. ἐὰν μὴ ἀποδῶ τὰ λύτρα. 1250, 3. πρὶν ἐξήκειν τὰς ἡμέρας, ἐν αἷς ἔφη δεῖν τὰ λύτρα καταθεῖναι. 1250, 18.
λυτροῦν] μηδ' ἐκ τῶν ἰδίων λελυτρῶσθαι πένητες ἄνθρωποι. 394, 18.
λύχνος] v. sub ἥλιος.
Λῷος] nomen mensis apud Peloponnesiacos. 280, 12.
λωποδυτεῖν] καθ' ἕκαστον οὑτωσὶ τῶν Ἑλλήνων περικόπτων καὶ λωποδυτῶν. 116, 19. ὕβριζε καὶ ἐλωποδύτει. 1264, 15.
λωποδύτης] λωποδυτῶν ἀπαγωγή. 1256, 8. λωποδυτῶν θάνατον μᾶλλον αἱροῦνται τοῦ προσήκοντος. 53, ult. λάβε τὸν περὶ τῶν λωποδυτῶν νόμον. 1264, 11.

M.

μὰ] οὐ μὰ τοὺς ἐν Μαραθῶνι προκινδυνεύσαντας τῶν προγόνων. 297, 11.
μαγγανεύει καὶ φενακίζει. 794, 2.
μάγειρος] οὔτε γὰρ μαγείρῳ μαχαίρας οὐδὲν ὄφελός ἐστιν, ἥτις μὴ τέμνει. 784, 11.
μαθητὴς Ἰσοκράτους. 928, 7. μαθητὰς συλλέγει. 938, 8.
μαίνεσθαι] μηδ' εἰ πάνυ μαίνοιτο. 186, 9. οὐχ οὕτω μαίνομαι. 242, 22. ἡ ποιοῦσα τοῦτον περαιτέρω μαίνεσθαι. 1182, 15. καὶ γὰρ ἂν μαινοίμην, εἰ μή. 1239, 9. πλὴν εἰ μὴ τοῦτό τις εἴπῃ, μανέντες. 719, 1.
μάκαρες] ἐν μακάρων νήσοις. 1400, 1.
Μακεδὼν] τί γένοιτο νεώτερον, ἢ Μακεδὼν ἀνὴρ καταφρονῶν τῶν Ἀθηναίων; 157, 2.
μακρολογεῖν] τί ἂν ὑμῖν μακρολογοίην. 1011, 14. 1421, 11.
μακρὸς] στοὰ μακρά. 918, 10. μακροῖς λόγοις καὶ κατηγορίαις προσέχειν. 1329, 19. μακρὸν πλοῖον διαφυγόντες. 1339, 12.
μάλα] redundat. τῷ βδελυρῷ τούτῳ μάλα βεβίωται. 563, 17.
μαλακία] διὰ μαλακίαν, ἢ ῥᾳθυμίαν ἐγκαταλιπεῖν τὰ τῶν προγόνων ἔργα. 158, 10. ἀδιήγητόν τινα τῆς πόλεως ἔκλυσιν καὶ μαλακίαν. 219, ult. αὐτὸν εἰς μαλακίαν ἔσκωπτον. 308, 18. οὔτε μαλακίαν, οὔτε ἀνανδρίαν προσοῦσαν ἐμοὶ εὑρήσετε. 1473, 24.
μαλακίζεσθαι] ταῦτα πάσχοντες μέλλομεν καὶ μαλακιζόμεθα. 120, 7. 754, 27.
μαλακὸς καὶ ἄτολμος. 106, 22. ἀλλὰ καὶ τούτους μαλακοὺς ἐποίησε. molles, remissos, segnes. 358, 6. πρόβατα πεντήκοντα μαλακὰ [nisi ibi leg. potius est μάλιστα]. 1155, 4.
μάλη] pro μασχάλη. οὐδ' ὑπὸ μάλης ἡ πρόκλησις ἐγένετο. clam, furtim. 848, 12.
μάλθη] cera. ἐν μάλθῃ γεγραμμένην παρέχειν τὴν μαρτυρίαν. 1132, 13.
μάλιστα] circiter, ferme. μάλιστα σύμπαντα ταῦτα εἰς ἑβδομήκοντα μνᾶς. 815, 4. μάλιστα τάλαντον. 839, 19. εἰ τὰ μάλιστα ἐγίγνετο ἡ πρόκλησις, ὡς οὐκ ἐγίγνετο. 1108, 27. οὐχὶ ταὐτὰ μάλιστα ἕκαστοι ἐσπουδακότες, ταῦτα πάντες ἔπραξαν. 62, 8. μάλιστα τρία τάλαντα. ferme 3 tal. quamquam optimo jure plus poteram ponere. 819, 3. τῷ πλήθει τῷ ὑμετέρῳ εὔνουν ὄντα τοῖς μάλιστα [subaudi εὐνοοῦσιν] ὁμοίως. *so gut, als immer einer* [*as well disposed as any one*]. 1473, 12.
μᾶλλον] redundat. πολὺ δικαιότερον τοῖς ἐξ ἀρχῆς ῥηθεῖσι τεκμαίρεσθαι μᾶλλον, ἢ τοῖς ὕστερον τεκταινομένοις. 921, 21. οὐ περὶ πλείονος ἐποιήσατο ὁ πατὴρ περιουσίαν χρημάτων μᾶλλον, ἢ Τιμοθέῳ ὑπηρετεῖν. 1185, 17. ἡγοῦνται περὶ πλείονος αὐτοῖς εἶναι, καλοὶ κἀγαθοὶ δοκεῖν εἶναι μᾶλλον, ἢ Τιμοθέῳ χαρίσασθαι τὰ ψευδῆ μαρτυροῦντες. 1195, 11. μᾶλλον ἔτι, ἢ νῦν, [scil. ἐστὶ] τὸ τὰ βέλτιστα λέγειν, φοβερώτερον ποιῆσαι. 31, 26. μᾶλλον pro μάλιστα, et subauditur in talibus τῶν ἄλλων, aut est pro simplici σφόδρα. καὶ πιστεύονται μᾶλλον παρ' ὑμῖν. 1336, 22.
μανδραγόρας] ἀλλὰ μανδραγόραν πεπωκόσιν, ἤ τι φάρμακον ἄλλο τοιοῦτον, ἐοίκαμεν ἀνθρώποις. 133, 1.
Μάνης] nomen servile. 1127, 25. 1253, 6.
μανθάνειν] τοὺς μετὰ τὸ παθεῖν μανθάνοντας, sapientes, intelligentes, quale quodque sit, ἀπροσκέπτους ὀνομάζομεν. 1232, 18. ἡ ἀρχὴ τοῦ δοκιμάζειν ὀρθῶς ἅπαντά ἐστι, μηδὲν οἴεσθαι γιγνώσκειν πρότερον, πρὶν ἢ μαθεῖν. 1422, 3. τί οὖν μαθόντες — quanam igitur de causa. 141, 19. 495, 20.

μέταλλον] παρὰ τῶν τὰ μέταλλα ἐωνημένων. 435, 6. μέταλλον παρὰ τῆς πόλεως πρίασθαι. 977, 13. μετάλλου δημευθέν. 1039, 23. τὸ ἀργύριον, ὃ ἔφερε καταβολὴν τοῦ μετάλλου τῇ πόλει, ὃ ἐγὼ ἐπριάμην ἐννενήκοντα μνῶν. 973, 5.

μεταξὺ] ἐὰν τὸ μεταξύ τις ἐγχειρῇ λέγειν. auctor fieri consiliorum mediorum. 202, 15. ὡς πλεῖστον τὸν μεταξὺ χρόνον γενέσθαι τῶν ὅρκων. ut inter assensum P. A. in pacem et confirmationem ejus a Philippo temporis intercederet quam plurimum. 233, 27. μεταξὺ δειπνοῦντες. inter cœnandum, de media cœna surgentes. 284, 23. ἐάν τις εἰς τὸν Πειραιᾶ μεταξὺ καταπλεύσῃ. tenente expeditione bellica. 1209, 25.

μεταπείθειν] oratione aliam in sententiam traducere. 303, ult. τυχὸν μὲν ἴσως καὶ μεταπεισθείητε. 1438, 21.

μεταπέμπεσθαι τοὺς ἱππέας ἐπὶ τὴν διαδοχήν. 567, 17. μεταπεμψάμενος εἰς τὸν ἀγρὸν ὡς θύων. cum eum invitasset in rus suum. 1367, 1. τί γὰρ καὶ βουλόμενοι μετεπέμπεσθ' ἂν αὐτοὺς ἐν τούτῳ τῷ καιρῷ, citat Hermogenes p. 306. ex or. pro Corona.

μεταπίπτειν] ταχὺ μ. εἴθισται. 805, 26.

μεταποιεῖν] νόμους, τοὺς μὲν μεταποιῶν, τῶν δ' ἀφαιρῶν. 268, 5. αἴτιος ἢ τὸν θεσμὸν συγχυθῆναι, ἢ μεταποιήσῃ αὐτόν. 640, 3. collato versu 13.

μεταῤῥιπτεῖν] κινεῖ καὶ ἀναιρεῖ καὶ μεταῤῥιπτεῖ. 797, 11.

μετάστασις] πολλὴν μετάστασιν καὶ μεγάλην μεταβολὴν δεικτέον. magnam insignemque demonstrare oportet morumque animorumque commutationem. 21, 24.

μεταστρέφειν] οὐδέν γε φροντίζων, οὐδὲ μεταστρεφόμενος. respectans. 585, 11. μεταστρέφειν τὰς αἰτίας. criminationes in intorquentem retorquere. 1032, 1.

μετατιθέναι] προφάσεις ἀντὶ τῶν ἀληθῶν ψευδεῖς μεταθέντα τοῖς πεπραγμένοις. 303, 10. In medio. μεταθέσθαι ταύτην τὴν δόξαν ἀξιῶν ὑμᾶς. 304, 3. τῇ μισθαρνίᾳ ταῦτα μετατιθέμενος τὰ ὀνόματα. 320, 13. μεταθέσθαι ἡμᾶς [scil. τὰ ὀνόματα], permutare, μεγάλην ἀτιμίαν ἔφερε καὶ ἀνανδρίαν. 996, 16. μεταθέσθαι τὸν φόβον. metum ab aliis ad alia transferre. 287, 7. ἵνα δὴ μηδὲν μετάθησθε. reprehendatis, mutetis consilia, instituta. 379, 10. τὸν τρόπον μεταθήσεται. 450, 21.

μεταφέρειν] μετήνεγκε τὴν ἐκ τῆς ὀλιγαρχίας ἀδικίαν εἰς τὸν ἑαυτοῦ νόμον. 724, ult. μεταφέρῃ τοὺς λόγους ἐπὶ πράγματα μὴ προσήκοντα. 491, 17. μεταφέροντες τὸ τῶν λειτουργιῶν ὄνομα ἐπὶ τὸ τῶν ἱερῶν. 495, 14. μετενεγκόντες τὸ συμβησόμενον κατὰ τὸν τοῦ κινδύνου λογισμόν. 210, 9. ἐκ τῶν ἀπόρων εἰς τοὺς εὐπόρους μετήνεγκα τὰς τριηραρχίας. 262, 25. μετενεγκεῖν τοὺς χρόνους transponere, trajicere, miscere tempora. 303, 8.

μεταχειρίζεσθαι τοὺς πολλοὺς ὠμῶς. 753, 13.

μετεῖναι αὐτοῖς, ὧνπερ Ἀθηναίοις μέτεστι — πλὴν τῶν ἐννέα ἀρχόντων, id est, πλὴν τῆς ἀρχῆς τῶν ἐννέα ἀρχόντων. 1380, 25.

μετεντιθέναι] οὐχ ἅπαντα τὸν γόμον μετενέθεντο. transonerarunt, transportari curarunt. 1290, 19.

μετεξαιρεῖσθαι] μετεξειλόμην τὸν γόμον. curavi merces ex alia navi in aliam aliasve egerendas. 1290, 10.

μετέρχεσθαι] ἐκέλευσα τὴν ἄνθρωπον τὴν ὑπακούουσαν μετελθεῖν αὐτὸν ὅπου εἴη. arcessere. 1149, 27. μετελθὼν [inde transgressus] εἰς τὸ Ποσειδῶνος ἱερόν. 1472, 9.

μετέχειν] καίπερ οὐδὲν μετέχοντα τοῦ αἰσχύνεσθαι, μετριώτερον αὐτὸν ποιήσειν. 1486, 12. εἰ τῆς ἀλλήλων ἀρετῆς μὴ μόνον τῇ φύσει, ἀλλὰ καὶ τοῖς ἐπαίνοις μετάσχοιεν. si non modo virtute similes posteri sint majoribus, sed etiam pariter, atque hi, prædicentur. 1392, 26. ἕκαστος ὑμῶν ἰδίᾳ μεθέξει τῆς δόξης τῶν κοινῇ γνωσθέντων. 507, 22. οὐδενὸς ἄλλου μετέχοντες, ἢ τοῦ ἐξαπατᾶσθαι. 690, 17. λάθρα καὶ βίᾳ ὑμῶν μετεῖχον τῶν ὑμετέρων ἱερῶν καὶ κοινῶν. 1300, 4. τῶν λογισμῶν. 116, 3. μὴ μετάσχοιεν ὧν ὑμεῖς τοὺς θεοὺς αἰτεῖτε. 255, 14. φιλοσοφίαν — ἧς οἴομαι δεῖν σε μετασχεῖν. 1412, 18.

μετεωρίζειν] vana spe circumactum, aut suspensum aliquem ad stulta et temeraria cœpta impellere. μετεωρίσας καὶ φυσήσας ὑμᾶς κατέβη. 169, 23.

μετέωρος] ἔτι γὰρ ὄντων τῶν πραγμάτων μετεώρων, καὶ τοῦ μέλλοντος ἀδήλου. 378, 23. ἀναγκαῖον ἦν ἐπ' ἀγκύρας ἀποσαλεύειν τὴν νύκτα μετεώρους. 1213, 24. μετεωροτέρας τῆς ὁδοῦ γενομένης καὶ στενωτέρας. 1279, ult.

μετοικεῖν. 632, 20.

μετοίκιον] census ab inquilinis quotannis pendendus pro jure in urbe habitandi, 496, 15. ἀτέλεια τοῦ μετοικίου. 691, 3. εἰ μὴ κείμενον αὐτῇ τὸ μετοίκιον ἔτυχε, scil. apud magistratum, Poletas sic dictos. 787, pen. πρὸς τὸ πωλητήριον τοῦ μετοικίου ἀπήγαγε. 787, 27. κἀκεῖ μετοίκιον τέθεικε. 845, 20. τὸ μετοίκιον καταθείς. 1315, 22.

μέτοικος] ἐμβαίνειν τοὺς μετοίκους ἔδοξε. 50, 21. αἵ τε τῶν μετοίκων λειτουργίαι καὶ αἱ πολιτικαί. 462, 13. inquilini sextam bonorum partem ærario dependebant. 612, 4. de inquilinorum epicleris, seu virginibus cum hereditate relictis judicabat Polemarchus. 1135, 26.

μετουσία] τῶν ἰδίων δικαίων τῶν ἐν ταῖς πολιτείαις τὴν μετουσίαν κοινὴν καὶ ἴσην ἔθεσαν οἱ νόμοι καὶ τοῖς ἀσθενέσι καὶ τοῖς ἰσχυροῖς. 199, 15. τὰς τῆς ἰσηγορίας καὶ τὰς τῆς ἐλευθερίας μετουσίας ἡμᾶς ἀφαιρεῖσθαι. 555, 17. τὰς κληρονομίας καὶ τὴν τῶν ἀγαθῶν μετουσίαν τοῖς αὐτοῖς ἀπέδωκε.

fuisset. 1026, 1.
μηχάνημα] τοὺς τὰ μηχανήματα ἐφιστάντας. 115, 7. τὸν τοῦτο τὸ μηχάνημα ἐπὶ τὴν πόλιν ἐφιστάντα. 115, 16.
μιαιφονεῖν συγγενεῖς ἑαυτῶν καὶ πολίτας. 424, 26.
μιαιφονία] ἀλλ' ἥ γε τούτου πικρία καὶ μιαιφ. καὶ ὠμότης. 795, 7.
μιαρὸς] οὐ τί γένοιτ' ἂν αἴσχιον, ἢ μιαρώτερον. 257, 12. ἵν' εἰδῇς σαυτὸν ἀγνώμονα καὶ συκοφάντην ὄντα καὶ μιαρόν. 322, 6. ἄνθρωποι μιαροὶ καὶ κόλακες καὶ ἀλάστορες. 324, 21. ἐγὼ γὰρ οὐδ' ἀκήκοα πώποτε πρᾶγμα μιαρώτερον. 931, 27. μιαρὸν, μιαρὸν τὸ θηρίον τοῦτο καὶ ἄμικτον. 788, 9.
μίασμα] ἵνα μὴ μιάσματα, μήτ' ἀσεβήματα γένηται ἐν τοῖς ἱεροῖς. 1374, 11.
μιγνύναι] οὐ μίγνυμι τῆς ἰδίας ἔχθρας εἰς τὰ κοινῇ συμφέροντα οὐδέν. 1465, 22.
μικρολόγος] ἀνελεύθεροι οἱ Μεγαρεῖς καὶ μικρολόγοι. 1357, 9.
μικρὸς] τὰ μέγιστα ἐν τοῖς ψηφίσμασιν αἱρούμενοι, ἐν τῷ πράττειν οὐδὲ τὰ μικρὰ ποιεῖτε. 45, 23. ἀλλ' οὐδὲ μικρὸν [scil. ῥῆμα]. ne verbum quidem. 352, 21. [p. 353, 11. est οὐδὲ γρύ.] ἐὰν δ' ἐπὶ μικροῖς σεμνύνηταί τις. 757, 17. εἰ μὴ παρὰ μικρὸν ποιήσῃ, scil. τὸ φιλοσοφεῖν. si philosophiæ studium parvi non ducas. 1416, 21. μικρότατος pro ἐλάχιστος. 1455, 19. ἐλάττω μικροῖς. *nur um ein Weniges minder* [*only a little less*]. 858, 4.
μικροψυχία] φθόνου καὶ μικροψυχίας ἐστὶ σημεῖον, οὐδενὸς δὲ χρηστοῦ. 319, 5. τίνα ἐν αὐτῷ μικροψυχίαν ἑνεωρακώς. 401, 18.
μικροψύχου ποιεῖν ἔργον ἀνθρώπου. 319, 9.
μιμεῖσθαι] ἵνα καὶ μιμώμεθα τὰς τῶν ἀναθέντων ἀρετάς. 174, 8. τὸ μὲν σχῆμα τοῦ Σόλωνος ἐμιμήσατο Αἰσχίνης, τὴν δὲ ψυχὴν καὶ τὴν διάνοιαν οὐκ ἐμιμήσατο. 420, 21. οὐ γὰρ, εἴ τι πώποτε μὴ κατὰ τοὺς νόμους ἐπράχθη, σὺ δὲ τοῦτ' ἐμιμήσω, διὰ τοῦτ' ἀποφύγοις ἂν δικαίως. 595, 16. καλὸν τὸ μιμήσασθαι. 686, 3.
μῖμος] μῖμοι γελοίων. 23, 21.
μισαθήναιος] μισαθηναιότατος. 687, ult.
μισανθρωπία] τίς γάρ ἐστι νόμος τοσαύτης ἀδικίας καὶ μισανθρωπίας μεστός. 264, 3. μισανθρωπίας ταῦτα σημεῖα, οὐ σωφροσύνης. 1122, 13.
μισεῖν] μὴ ζητεῖτε, ὅντινα ἀνθ' ὧν Φίλιππος ἐξαμαρτάνει, μισήσητε. 136, 14. πῶς οὐ δεινὸν, ἐφ' οἷς παθόντες ἐμισήσατε τοὺς δράσαντας, νῦν αὐτοὺς φαίνεσθαι ποιοῦντας, [scil. τὰ αὐτά]. 159, 23. τοὺς αὐτοὺς καὶ μισεῖν, καὶ φιλεῖν, οὓς ἡ πατρίς. 319, 14. τοὺς τεθνεῶτας οὐδὲ τῶν ἐχθρῶν τις ἔτι μισεῖ. 330, 5. οὐθ' — οὕτως αὖ μισεῖν, ὥστ', ἂν παυσάμενος βούληται φίλος εἶναι, κωλῦσαι τὸ ἐξεῖναι ταῦτα ποιεῖν. 660, 28. ἄχρι του καὶ φιλεῖν, οἶμαι, χρὴ, καὶ μισεῖν, μηδετέρου τὸν καιρὸν ὑπερβάλλοντας. 660, ult. ὃς ἂν σοι δανείσῃ, τοῦτον δημοσίᾳ μισεῖσθαι προσήκει. 982, 12. οὐ γὰρ οὕτω τούτους μισῶ, ὡς ἐμαυτὸν φιλῶ. 1161, 19. οὐδείς ἐστιν, ὅστις οὐκ ἐπετίμα τῶν παρόντων, καὶ ἐμίσει· τελευτῶντες δὲ καὶ αὐτοὶ ἑαυτοὺς, [scil. ἐμίσουν]. 1265, 11.
μισθαρνεῖν] τοῖς παρ' ἐκείνου μισθαρνοῦσι διασπάσασθαι παραβαλεῖτε. 136, 15. εἰργάζετο τῷ σώματι μισθαρνοῦσα τοῖς βουλομένοις αὐτῇ πλησιάζειν. 1351, 21. ἐμισθάρνει τῷ βουλομένῳ ἀναλίσκειν. 1352, 14.
μισθαρνίαν τὴν τούτου εἰδότες. 242, 17. τῇ μισθαρνίᾳ ταῦτα μετατιθέμενος τὰ ὀνόματα. 320, 13.
μισθὸς] οὐ γάρ ἐστιν ἄρχειν μὴ διδόντα μισθόν. 47, 2. μισθοὺς μείζους ἐπράττετο τοὺς βουλομένους αὐτῇ πλησιάζειν. 1359, 1. μισθοῦ λέγει, [subaudi ἀντί]. 151, 17.
μισθοῦν] mercede elocare. *vermiethen, verpachten, in Sold geben* [*to let out, let for hire, let on lease*]. ἑαυτὸν ἐπί τι. 232, 10. ταῖς ἐκείνων τέχναις καὶ πανουργίαις μισθώσας αὐτὸν, καὶ παρασχὼν ὑπηρέτην. 704, 20. τάλαντον εἰσπραττόμενοι ταλάντου μισθοῦσι τὰς τριηραρχίας. 564, ult. τὸν Θρασύλοχον πείθει, τῆς ἑαυτοῦ τριήρους τὴν τριηραρχίαν μισθῶσαι τῷ Καλλίππῳ. 1222, 26. σκεψάμενοι τὸν ἐξ ἐλαχίστου τριηραρχεῖν βουλόμενον, μεμισθώκασι τὴν λειτουργίαν, [id est, τὴν τριηραρχίαν]. 1230, 5. In medio: conducere mercede. *abmiethen, in Sold nehmen* [*to hire, to take into pay*]. πάλιν μισθοῦται τὸν κατάπτυστον τουτονί. 236, 23. πῶς οὖν ταῦτ' ἐποίησε; μισθοῦται τοῦτον. 276, 27. Τιμοθέου μισθουμένου τοῦτον καὶ τὸ στράτευμα. cum Timotheus eum una cum copiis ejus conducere vellet, quamquam haud impetravit. 669, 14. τῶν τὰ μισθώσιμα μισθουμένων. qui vectigalia publica redimunt, ut agros, vineas, sylvas, pascua, piscinas, metallifodinas, lapicidinas, salinas, alia talia, unde fructus ad ærarium redeunt. 713, 5. θέρος μισθοῖντο ἐκθερίσαι. qui [nomine heri puta] fundi alicujus domino certam mercedem darent, aut dandam promitterent, pro æstatis unius proventu ex illo fundo edito. 1253, 15. οὗτος ἦν ὁ ὠνούμενος καὶ μισθούμενος ὑπὲρ αὐτῶν. hic loco servorum suorum stipulabatur redemtionem, *schloss den Kauf-oder Pachtcontract* [*closed the contract of purchase, or of lease*], et dependebat stipulatam mercedem. 1253, 17. μισθωθεῖσα ὑπὸ Νικαρέτης. *Neæra war in ihrer Frau Lohn und Brode* [*Neæra received board and wages from her mistress*]. 1382, 9.
μισθοφορὰ] conditio militis mercenarii; quæ erat contemta. οὐκοῦν σὺ μισθοφορὰν λέγεις. 38, 1.
μισθοφορεῖν] μισθοφορήσας παρ' ἐκείνῳ. 669, 6.

μισθοφόρος] μισθοφόρων ἀνθρώπων ἔργον ποιοῦντες λήσομεν. 661, 7.

μίσθωμα] τέλος εἶχε τὸ μίσθωμα. *die Miethe war nun aus* [*the time of hire was over*]. ea res perfecta jam erat, ob quam Æschines operam suam Philippo mercede addixerat. 379, 20. p. 713, 4. pro μισθώσιμα dant alii libri μισθώματα.

μισθώσιμος] τὰ μισθώσιμα μισθοῦσθαι. vectigalia reip. elocabilia, quæ quotannis, aut tertio, sextove quoque anno hastæ subjiciuntur, et plus licentibus a τοῖς πωληταῖς addicuntur, redimere. 713, 4.

μίσθωσις] *Pacht* [*rent*], merces annua e condicto, vel pacto præstanda. μίσθωσιν οὐ φέροντες, ἀλλ' αὐτοὶ ἑαυτοῖς ἐργαζόμενοι, πάντες ἀπώλοντο. 960, 8. τοὺς μὴ ἀποδιδόντας τὰς μισθώσεις τῶν τεμενῶν τῶν τῆς θεοῦ. 1069, 26. μισθώσεως, seu elocationis mensæ numulariæ exemplum, seu formula. 1111, 6. μισθώσεις τεμενῶν εἰσπράττειν. 1318, 20.

μισθωτὸς] ἄνθρωποι μισθωτοὶ, ὧν οὐδ' ἂν ἀρνηθεῖεν ἔνιοι ὡς οὐκ εἰσὶ τοιοῦτοι. 124, pen. μισθωτὸς καλὸς κἀγαθὸς καὶ δίκαιος γέγονε. 374, 25. πότερα μισθωτοὶ [*Tagelöhner —day-labourers*] ἢ οἰκέται. 1199, 21.

μισοπόνηρος. 584, 12.

μῖσος, ἂν τούτοις τις ἐπιτιμᾷ. 121, 9. τὰ μίση καὶ τὰ ἐγκλήματα ἐφ' ὅλην ἔρχεται τὴν πόλιν. 168, 2.

μνᾶ] τριηράρχους, ὧν ἕκαστος τριάκοντα μνᾶς εἰς ἐπίπλουν [nisi potius ἔκπλουν leg. est] εἴληφε. 1231, 13.

μνᾶσθαι. μεμνῆσθαι] συνανάλωσε καὶ τὸ μεμνῆσθαι τῇ τύχῃ τὴν χάριν. memoriam gratiæ fortunæ habendæ. 12, 12. καίπερ ὄντες οὐ δεινοὶ τοὺς ἀδικοῦντας μεμνῆσθαι. 73, 12. ἥσθη τε τοῖς λόγοις καὶ ἐπῄνει, ὅτι μέμνηται εὖ παθών. 1192, 12.

μνασιδωρεῖν] munera diis offerre. proprie, meminisse munerum dandorum. 531, 13. 1072, 24.

μνῆμα] οὐ μὰ τοὺς ἐν τοῖς δημοσίοις μνήμασι κειμένους ἀγαθοὺς ἄνδρας. 297, 15. μνήματος ὄντος κοινοῦ ἅπασι τοῖς ἀπὸ Βουσέλου γενομένοις. 1077, 22. οὐ κεκοινωνήκασι τοῦ μνήματος τούτου. 1078, 2. μνῆμα ἑαυτοῖς ἰδίᾳ ἐποιήσαντο ἄπωθεν τοῦ Βουσελιδῶν μνήματος. 1078, 3. ᾗ τὸ μνῆμα ᾠκοδόμησεν ὁ θεοῖς ἐχθρὸς οὗτος. 1125, 14. τὸ μνῆμα φυλάττειν ἐπὶ τρεῖς ἡμέρας. 1160, 16. τὰ μνήματα παλαιά ἐστι, καὶ πρὶν ἢ ἡμᾶς κτήσασθαι τὸ χωρίον γεγενημένα. 1275, 15. ἔθαψε τούτους εἰς τὰ πατρῷα μνήματα. 1307, 9. τίς ἐστιν, ὅστις εἰς τὰ πατρῷα μνήματα τοὺς μηδὲν ἐν γένει προσήκοντας τιθέναι ἐᾶσαι. 1307, 12. τέθαπται ἐν τοῖς δημοσίοις μνήμασι. cenotaphium ejus est in Ceramico. h. e. inscriptum est nomen ejus stelæ, exhibenti nomina eorum, quicum in Sicilia occubuissent, ibique sepulti essent, Athenis cohonestati sunt titulo tumuli publici, sed inanis. 1310, 15. τὰς μαρτυρίας τῶν φρατόρων καὶ συγγενῶν καὶ δημοτῶν καὶ ὧν τὰ μνήματα ταῦτα. 1311, 5.

μνημεῖον] οὐκ ᾐσθάνετο, ὅτι οὐ τοῦ τάφου μνημεῖόν ἐστι τὸ οἰκοδόμημα, ἀλλὰ τῆς ἀδικίας. monumentum hoc esse, testans, ibi conditas esse alicujus vita defuncti exsuvias. 1125, 16.

μνήμη] ἀλλ' οὐ τίθεται ταῦτα παρ' ὑμῖν εἰς ἀκριβῆ μνήμην. 273, 19.

μνημονεύειν] οὐδ' εἴ τι συνέβη παρὰ τῶν θεῶν χρηστὸν, μνημονεύουσιν. 12, 15. τῶν ἐν ἅπαντι τῷ αἰῶνι μνημονευομένων ἀνθρώπων. 1468, 26. μέχρι τοῦ παρόντος χρῆσθαι [id est, ἕως πάρεστι χρῆσθαι ταῖς χάρισι] μνημονεύειν τὰς χάριτας. 1478, 13.

μνημονικὸς] μνημονικώτατος. 329, 25.

μνημονικῶς] ὡς εὖ καὶ μν. καὶ ἐπιμελῶς περὶ ἑκάστου κατηγορήθη. 1383, 7.

μνησικακεῖν. 257, 15. 258, 12. μνησικακεῖν πρὸς τοὺς βουλομένους σώζεσθαι. 259, pen. μνησικακεῖν qui dicendus sit. 685, 7. ἐσώσατε τοὺς Λακεδαιμονίους καὶ οὐκ ἐμνησικακήσατε, citat ex or. pro Corona Minucianus p. 140, 10.

μοῖρα] sors, portio rata, competens, ut hereditatis. τὴν τοῦ πατρὸς μοῖραν λαγχάνειν. 1067, 5. b) modus, ratio, locus, numerus, conditio, τάξις. τὸν ἄγοντα καὶ φέροντα τἀμὰ ἐν πολεμίου μοίρᾳ. non aliter, atque hostis faciat. 639, 25. c) fatum, fatalis necessitas. μοῖραν δ' οὔ τι φυγεῖν ἕτερον. 322, 17. τῶν δημοτικῶν τοὺς μὲν ἡ καθήκουσα μοῖρα καὶ ἡ τύχη καὶ ὁ χρόνος παραιρεῖται. 1482, 4.

μοιχὸν] λαβεῖν ἐπὶ ταύταις ὁ νόμος οὐκ ἐᾷ, ὁπόσαι ἂν ἐπ' ἐργαστηρίου κάθωνται, ἢ ἐν τῇ ἀγορᾷ πωλῶσί τι. 1367, 25. λαμβάνει μοιχὸν ἐπὶ τῇ θυγατρί. 1367, 2. ἐφ' ᾗ ἂν μοιχὸς ἁλῷ γυναικὶ, οὐκέτ' ἔξεστιν αὐτῇ ἐλθεῖν εἰς οὐδὲν τῶν ἱερῶν τῶν δημοτελῶν. 1373, ult.

μόνος μόνῳ συνῄει. 273, 1. μόνον interdum omittitur. παρακαλεῖν καὶ τοὺς ἄλλους Ἕλληνας, οὐ λόγοις [subaudi μόνον], ἀλλὰ καὶ τοῖς ἔργοις. 158, 14.

Μόρα] cohors quædam Spartana. τὴν Μόραν κατέκοψεν Ἰφικράτης. 172, 26.

μοσχεύειν] novellos, tenellos stipites ad justam proceritatem educare. 785, 4.

Μουνυχία] οὐκ ἐν Μουνυχίᾳ ἐκαθίζετο. 262, 17.

μουσικὴ] quicquid scite et ingeniose scriptum est, sive soluta, sive ligata oratione. ὑποθέσεις τῆς αὐτῶν μουσικῆς πεποιῆσθαι. 1391, 19.

μοχθηρὸς] μοχθηρὰ τὰ πράγματα ἐν τῷ Βοσπόρῳ καταλαβών. forum frigidum. *schlechte Messe, schlechten Markt, wenig Käufer, wenig Geld unter den Leuten* [*a bad market, bad fair, few buyers, little money amongst the people*]. 909, 21.

μυεῖν] μυῆσαι αὐτὴν ἐβούλετο. 1351, 26.

μυθολογεῖν] τῷ ὑπογυιότερα εἶναι τοῖς χρόνοις οὔπω μεμυθολόγηται. 1391, 21. μυθολογουμένας τὰς Λεωκόρας. 1398, 5.
μύθους λέγοιμι. me fabulas narrare, h. e. garrire, nugari. 1219, 14. τῶν εἰς μύθους ἀνηνεγμένων. 1391, 14.
μυθώδης. 641, 19.
Μυλωθρός. 1251, 5.
μυλῶν] ἐν τῷ μυλῶνι προσῆκεν αὐτὸν εἶναι μᾶλλον, ἢ — 1111, ult.
οἱ μύριοι. senatus Arcadum. 344, 13. 403, 10. μή μοι μυρίους, μηδὲ δισμυρίους ξένους. 45, 12.
μυροπώλιον. 786, 9. 911, 14.
μῦς] ἄρτι μῦς πίττης γεύεται. 1215, 10.
Μυσὸς] τὴν Μυσῶν λείαν καλουμένην. 248, 23.
Μυστήρια] εἰς Μυστήρια τὴν γυναῖκα ἄγει ἐπὶ λευκοῦ ζεύγους. 565, 26. εἰς τὴν ἑορτὴν καὶ τὰ μυστήρια ὑπὲρ αὐτῆς ἀναλώσῃ. 1351, pen. 1352, 1. ἐπεδήμησαν εἰς τὰ Μυστήρια. ob Mysteria, per eorum occasionem, versarentur in urbe. 1352, 19. τούτου τοῦ μηνὸς [Boedromione] μετὰ τὰ Μυστήρια. 29, ult. ergo Mysteria mense Boedromione agebantur.
μωρία καὶ κακία τὰ τοιαῦτα ἐλπίζειν. 128, 9. μωρία ἂν εἴη λέγειν. stultum sit id docere, quod nemo nesciat. 397, pen.

N.

ναυαγεῖν] ἐναυάγησεν οὐ πόῤῥω τοῦ ἐμπορίου. 910, 7. 933, 11. θέαν ἡδίστην ἐν τοῖς ἱππικοῖς ἀγῶσι παρέχεται τὰ ναυαγοῦντα. currus eversi et confracti. 1410, 10.
ναυαγία] ὥσπερ ἂν εἴ τις ναύκληρον αἰτιῷτο ναυαγίας. 293, 5. ἐπειδὴ τάχιστα κατέπλευσαν ἐκ τῆς ναυαγίας Ἀθήναζε. 910, 24. τούτοις δ' οὐδὲν προσήκει τῆς ναυαγίας. neque navis, neque mercium naufragio corruptarum quicquam ad eos pertinere. 934, 3.
ναυαρχεῖν πλοίων. 251, 3.
ναυκλήριον] ὃς μέγιστα τῶν Ἑλλήνων κέκτηται ναυκλήρια. plurima navigia, merces mercede per mare vectantia. 690, ult.
ναύκληρος] ὥσπερ ἂν εἴ τις ναύκληρον πάντα ἐπὶ σωτηρίᾳ πράξαντα τῆς ναυαγίας αἰτιῷτο. 293, 1. οὔτε ναῦν, οὔτε ναύκληρον, οὔτ' ἐπιβάτην ἐστὶν ἀναχθῆναι, τὸ τῶν δανειζόντων μέρος ἂν ἀφαιρεθῇ. 922, 12.
ναυκρατιτικὸς] v. χρήματα. 703, 15.
ναῦλον] onera navis, *die Fracht, das Guth* [*the freight, the cargo*], merces navi impositæ. ἡμᾶς τὸ ναῦλον σφετερίσασθαι. 882, 13. δεδανεικὼς ἐπὶ τῷ ναύλῳ, καὶ ἐπ' αὐτῷ τῷ πλοίῳ. 933, 22. τὸ ναῦλον τῶν ξύλων παρασχεῖν. vecturam, h. e. mercedem vecturæ, tignorum. 1192, 3.
ναυμαχεῖν] οὐ μὰ τοὺς ἐν Σαλαμῖνι ναυμαχήσαντας. 297, 13.
ναυμαχία] τὴν περὶ Νάξον ἐνίκα ναυμαχίαν Χαβρίας. 172, 27. ναυμαχίᾳ τῇ πρὸς Ἀλέξανδρον ἐνικήθητε. 1230, 15.
ναυπηγεῖν] αἰτεῖσθαι ναυπηγήσασθαι μικρὰ πλοῖα. rogare veniam navigia ædificandi. 219, 11. et 21.
ναυπηγήσιμα ξύλα. 219, 17.
ναύτης] ναύτας, ὧν ἕκαστος ἔχει [mercedem fert menstruam] τριάκοντα μόνας δραχμάς. 1231, 11. ὅταν μὲν τῶν ναυτῶν τις ἁμάρτῃ. 801, 13.
ναυτιᾶν] Schol. ad Aristotelis Rhetoric. p. 56. a. 39. citat hunc e Demosthene locum, quem non reperio: ὥσπερ γὰρ οἱ ἐν τῷ πλοίῳ ὄντες, ὑπὸ τοῦ σάλου καὶ τῶν κυμάτων ταρασσόμενοι ναυτιῶσι, καὶ ἀηδῶς [nam sic leg. est, non ἁπλῶς, quod est excusum] ἀφορῶσι πρὸς τὴν θάλασσαν, οὕτω καὶ ὁ δῆμος ναυτιᾷ καὶ ἰλιγγιᾷ ἀφορῶν πρὸς τὰ πράγματα.
ναυτικὸς] ναυτικά. sortem pecuniarum, in fœnus nauticum datam, seu creditam in naves, sub conditione fœnoris nautici præstandi. *auf Bodmerey* [*on bottomry*]. 816, 26. ναυτικαὶ συγγραφαί. 932, 4. ναυτικὸν ἀνειλόμην [id est, χρήματα ἐπὶ τόκῳ ναυτικῷ]. 1213, 3. τόκους ναυτικοὺς ἐπράττετο ἀπὸ τῶν ἡμετέρων χρημάτων. 1288, 11. τὸ ναυτικὸν [scil. πλήρωμα], copiæ navales. οὐ πρότερον τῷ πολέμῳ παρέστησαν, πρὶν ἢ τὸ ναυτικὸν αὐτῶν ἀπώλετο. 597, ult. ὁρῶν τὸ ναυτικὸν ὑμῶν καταλυόμενον. 260, 9.
νεάλης δὲ καὶ πρόσφατος ὢν ἐκεῖνος περιῆν αὐτοῦ τεταριχευμένου. 788, 23.
νεανίας] pro eo, qui in opere suo gnavus, sedulus, robustus, strenuus, acer est. ἐν τίσιν οὖν σὺ νεανίας, καὶ πηνίκα λαμπρός. 329, 23.
νεανιεύεσθαι] juveniliter se jactare in pollicendo, præter id, quod quis vere vult, et sibi permissus, ambitione nulla stimulante, sit daturus. καί τι καὶ νεανιευσαμένου τοιοῦτον, ὡς οὐδὲν οὐ ποιήσει. 401, 24. νεανιεύσεται καὶ περιϊὼν ἐρεῖ. 416, 23. ὡσπερεὶ κεφάλαια ἐφ' ἅπασι τοῖς ἑαυτῷ νενεανιευμένοις ἐπέθηκε. 520, pen. οὐδ' ἐνεανιεύσατο τοιοῦτον οὐδέν. 536, 26.
νεανικὸς] μέγα καὶ νεανικὸν φρόνημα λαβεῖν. magnum, præclarum. 37, 10. 173, 23. 579, 9. ταῦτα τὰ λαμπρὰ καὶ νεανικὰ αὐτῶν ἐστί. 1267, 25. οὐ γὰρ ἡγεῖτο λαμπρὸν, οὐδὲ νεανικὸν οὐδὲν, οὐδ' ἄξιον εἶναι θανάτου. 557, 26.
νεβρίζειν] hinnulum agere, h. e. hinnuli pelle indutus per semitas discursitare in sacris arcanis. 313, 16.
νεήλατα] genus placentarum. 314, 1.
νέκυς] ἐπειδὰν ἐξενεχθῇ ὁ νέκυς. 1071, 10.
νέμειν τιμάς. 500, 7. 685, ult. νεμεθεῖσα οὐσία. 956, 12. συγκεχωρηκέναι τὸ τρίτον νείμασθαι μέρος. concessisse, ut quadrans hæreditatis solummodo sibi attribueretur. 996, 14. ὅτι νενεμημένος εἴη. sibi patrimonium esse cum fratre her-

utuntur, διαφθείρουσι θάνατός ἐστιν ἡ ζημία. 508, 14. 765, pen. ἀργύριον μὲν νόμισμα εἶναι τοῖς ἰδιώταις εὑρημένον, τῶν ἰδίων συναλλαγμάτων ἕνεκα, τοὺς δὲ νόμους τῆς πόλεως ἡγεῖται νόμισμα εἶναι. 766, 4. ὥσπερ, εἰ νόμισμα ἐκρίνετε, ὁποῖόν τι ποτ' ἐστὶ, δοκιμάσαι δεῖν ἂν ᾤηθητε. 1442, 6.

νομοθεσίας ratio, Athenis usurpata, exponitur p. 705, 17.

νομοθετεῖν] qua ratione Solon præceperit. 485, 6. sqq. βούλομαι δ' ὑμῖν, ὅπως ἐν Λοκροῖς νομοθετοῦσι, διηγήσασθαι. 743, ult. νομοθετῶν αὐτὸς αὑτῷ. 1286, pen. νομοθετεῖτε ὑπὲρ ὅλου τοῦ ἐμπορίου. 1297, 7.

νομοθέτης] νομοθέτας καθίστατε. 31, 10. Σόλων οὐδὲν ὅμοιος ὢν τούτῳ νομοθέτης. 601, 6. ὅμοιός γε νομοθέτης Σόλων καὶ Τιμοκράτης. 733, 17. τὰς ἐν ταῖς ψυχαῖς ἀγριότητας αἱ τῶν νομοθετῶν ἐξορίζουσι διάνοιαι. 808. 16. τῶν πόλεων ταύτας ἂν ἴδοιμεν ἄριστα οἰκουμένας, ἐν αἷς ἄριστοι νομοθέται γεγόνασι. 108, 13. b) Nomothetæ, peculiaris magistratus Athenis, de vetustis legibus antiquandis et de novis ferendis statuens. 706, 22. sqq.

νόμος] in prædicatione legum, hoc est juris, sive naturalis, sive scripti, sive ejus omnis, quod recte et ordine fit, pæne tota versatur oratio in Aristogitonem secunda. πᾶς ὁ τῶν ἀνθρώπων βίος —φύσει καὶ νόμοις διοικεῖται. 774, 7. νόμος πᾶς ἐστὶν εὕρημα μὲν καὶ δῶρον θεῶν, δόγμα δὲ ἀνθρώπων φρονίμων. 774, 18. ἆρά τις ἡμῖν λοιπὸς νόμος (conf. scripta sub v. λόγος). πολλοὶ τῶν Ἑλλήνων πολλάκις εἰσὶν ἐψηφισμένοι τοῖς νόμοις χρῆσθαι τοῖς ὑμετέροις. 765, 7. τοὺς νόμους ἔθεσθε πρὸ τῶν ἀδικημάτων, ἐπ' ἀδήλοις τοῖς ἀδικήσουσιν, ἀδήλοις δὲ τοῖς ἀδικηθησομένοις, citat Schol. Hermog. p. 88. τόθ' ὑμεῖς τοὺς νόμους ἔχοντά με πλησίον ἡγεῖσθε παρεστάναι. 575. 15. νόμισμα τῆς πόλεως ὁ νόμος. 766. 4. lex est alia naturalis, alia civilis, seu scripta. οὐ μόνον παρὰ τὸν γεγραμμένον νόμον, ἀλλὰ καὶ παρὰ τὸν κοινὸν ἁπάντων ἀνθρώπων νόμον. 639, 23. οἱ νόμοι τίθενται δυοῖν ἕνεκα. ut injuriæ et prohibeantur, et pœnas dent. 774, 25. εἴπερ οἱ νόμοι πάντες τοῦ δικαίου ἕνεκα καὶ τῆς τῶν χρηστῶν σωτηρίας τίθενται. 1480, 18. ὅλως οὐδὲν οὔτε σεμνὸν, οὔτε σπουδαῖον εὑρήσομεν, ὃ μὴ νόμου κεκοινώνηκεν. 808, 17. τὸν ὅλον κόσμον — νόμος καὶ τάξις διοικεῖν φαίνεται. 808, 19. opponitur consuetudini. τὸ ἔθος νόμον ποιεῖν. consuetudinem vulgarem in vim legis transferre, h. e. quod existimarem, ab omnibus quod fieret, nemine reprehendente, id perinde valere atque legem scriptam. 414, 8. νόμοις οἰκεῖν τὴν ἑαυτῶν. juxta leges. 665, 27. ὃν ἂν αὐτὸς ἕκαστος νόμον τῇ φύσει δῆλος ᾖ καθ' ἑτέρων ἔχων, τούτου τυγχάνειν παρ' ἑκάστου δίκαιός ἐστι καὶ αὐτός. *wie man andern begegnet, das muss man auch von andern gewertigen und sich gefallen lassen* [*according as one treats others, that must one also expect from others and put up with it*]. 794, 14. οὓς ἂν ἑλών τις πολέμου νόμῳ. pro more, vel jure belli, prout in bellis fieri solet, et fas est. 41, pen. νόμοι αἰκίας [id est, περὶ αἰκίας] et βλάβης. 525, 14. διαιτητῶν. 544, 14. 545, 2. ἐπικλήρων. 979, pen. ἑταιρήσεως. de fornicatione. 599, 24. λωποδυτῶν. 1264, 11. ὕβρεως. 525, 14. 1264, 10. νόμος αἰσχρὸς ὅταν κύριος ᾖ, ἁπάσης τῆς πόλεως ὄνειδός ἐστιν. 764, 1. θάνατον ζημίαν ὡρικέναι, ἐάν τις νόμον οὐκ ὄντα παράσχηται. 807, ult. οἱ πονηροὶ νόμοι βλάπτουσι τὰς ἀσφαλῶς οἰκεῖν οἰομένας πόλεις. 471, 25. τυγχάνειν τῶν νόμων. seu beneficio legis potiri, seu pœna legitima affici. adipisci ea, quæ jus civile cuique pro ejus merito tribuit. 1081, 15. ἀγαπῶσιν ἡμῖν, ἐάν τις ἡμᾶς ἐᾷ τῶν νόμων [id est, τῶν ἐν τοῖς νόμοις τεταγμένων] τυγχάνειν. 1089, 12. οὐδὲ γὰρ ἐν τῷ νόμῳ ἐστί σοι. hæc fœmina de jure tua non est, nullo pacto, nullo titulo juris, ad te pertinet. 1160, 22.

νοσεῖν] Θετταλοὶ νοσοῦσι καὶ στασιάζουσι. discordiis et simultatibus inter se laborant, nolunt legibus, aut magistratibus parere. 22, 7. πρὸς νοσοῦντας ἐν ἑαυτοῖς καὶ τεταραγμένους προσπέσῃ. 123, ult. αἱ δὲ πόλεις ἐνόσουν. 240, 27.

νόσημα δεινὸν ἐμπέπτωκεν εἰς τὴν Ἑλλάδα. 424, 3. τοῦ μὲν [φθόνου puta] νοσήματος ὄντος. 1481, 12.

νουθετεῖν] ὥστε οὐδὲ παθὼν ἐνουθετήθη. 798, 9. τὸ μὲν οὖν νουθετεῖν τοῦτον μανία. 798, 17. ὁ δῆμος ἅπας τοὺς ἐνοχλοῦντας ἑαυτὸν νουθετεῖ θορύβοις. 798, 19. οὐδένα ἀνθρώπων οἶμαι τὰ προσόντα αὐτοῖς [subaudi ὀνείδη] ἀκοῦσαι [subaudi οὕτως ἡσυχίως καὶ ῥαθύμως] νουθετουμένους, ὡς ὑμεῖς [scil. ἀκούετε] τὰ μὴ προσόντα [scil. ὑμῖν] κακῶς ἀκούοντες. 1453, 25.

νουμηνία] ταῖς νουμηνίαις εἰς τὴν ἀκρόπολιν ἀναβαίνοντες. 799, ult.

νοῦς] τοιοῦτον ἔχουσι νοῦν. 185, 4. νοῦν ἔχειν ὀφείλετε. 1452, 16. τοῦτ' ἐμοὶ ἐπὶ νοῦν ἐλθεῖν γράψαι. 1463, 2.

νῦν] pro ἔναγχος, nuper, novissime. 361, 20.

νὺξ] ἔξω μέσων νυκτῶν ἐποίησαν εἶναι τὴν ὥραν. negotium ultra mediam noctem extraxerunt. 1265, 3.

Ξ.

ξαίνειν κατὰ νώτου πολλὰς [scil. πληγάς]. 403, 3.

ξεναγεῖν] πάντες οἱ ξεναγοῦντες οὗτοι. 665, 25. ξεναγῶν ἤδη καί τινων ἄρχων στρατιωτῶν. 669, 3.

ξένη] regio peregrina, solum extraneum, quatenus patriæ opponitur. ἐπὶ ξένης περιϊὼν ὁρῶμαι. 1484, 5.

ξενία] exceptio hospitis epulo hospitali. ἐπὶ ξενίαν καλεῖν. 81, 19. b) conditio peregrini Athenis commorantis, præsertim qui pro cive se gerat. οὐδὲ γὰρ οἱ ξενίας ἁλισκόμενοι ἀγανακτοῦσιν ἐν τῷ οἰκήματι τούτῳ ὄντες. 741, 19. ξενίας γραφὴν φεύγοντα. 1481, 18. εἴ τις αὐτὸν ξενίας γράψαιτο. 1020, 23. c) necessitudo amicitiæ cum peregrino contracta. ὁ τὴν Ἀλεξάνδρου ξενίαν ἐμοὶ ὀνειδίζων· ἐγὼ σοὶ ξενίαν Ἀλεξάνδρου; πόθεν λαβόντι; ἢ πῶς ἀξιωθέντι; 242, 20.

ξενίζειν] τοὺς παρὰ Φιλίππου πρέσβεις ἐξένισα, καὶ πάνυ γε λαμπρῶς. 414, 10. b) peregrinum quid in sermone sonare. διαβεβλήκασί μου τὸν πατέρα, ὡς ἐξένισε. 1304, 6. et 11.

ξενικὸς] ἐξ οὗ δ' αὐτὰ τὰ ξενικὰ [scil. στρατεύματα] ὑμῖν στρατεύεται. copiæ mercenariæ, aliunde conductæ. 46, 25. μὴ ξενικὸν πολὺ συστήσηται. 186, 23. εἰ ξενικὰ [scil. τέλη] ἐτέλει. num contributiones eas dependerit, quæ peregrinis Athenis commorantibus dependendæ sunt pro jure incolatus. 1309, 5.

ξένιον] ξένια dona hospitalia, citat e Dem. Poll. III. 59.

ξενολογεῖν. 1019, 12.

ξένος] ξένοι. milites mercenarii. 15, 24. 23, 2. b) amicus extra urbem. οὔτ' ἰδίᾳ ξένος αὐτῶν οὐδείς ἐστί μοι. 194, 19. c) peregrinus Athenis commorans. ξένον μηδένα ἀγωνίζεσθαι βουλόμενοι. 532, 17. ἐργάζεσθαι οὐκ ἔξεστι ξένῳ ἐν τῇ ἀγορᾷ. 1308, 9. εἰ νόθος, ἢ ξένος ἦν, ἐξῆν τούτοις κληρονομεῖν τῶν ἐμῶν πάντων. 1315, 8. ξένῃ γυναικὶ συνοικοῦντα παρὰ τοὺς νόμους. 1349, 13. lex de conjugiis cum peregrinis. 1350, 17. sqq. ξένην ἐάν τις ἐκδιδῷ ὡς ἑαυτῷ προσήκουσαν. 1363, 4. εἶδεν ἃ οὐ προσῆκεν αὐτὴν ὁρᾷν ξένην οὖσαν. 1369, 26. ἱερῶν δημοτελῶν, εἰς ἃ καὶ ξένην καὶ δούλην ἐλθεῖν ἐξουσίαν ἔδωκαν οἱ νόμοι. 1374, 2. πρὶν τοὺς ξένους εἰσιέναι. 1375, 19. ergo non prius in forum admittebantur peregrini, quam concio discessisset.

ξενοτροφεῖν. 157, 11.

ξηραίνειν. 1278, 22.

ξυληγεῖν] materiam e Macedonia in portum Atticum advectam in domum suam inducere. 376, 2.

ξύλον] collare ligneum, tormentum servile. 270, 9. b) lignum quodcunque. λίθος, ἢ ξύλον, ἢ σίδηρος — ἐμπεσὸν πατάξῃ. 645, 15. ξύλα κλίνεια. 816, 19. c) mensa, vel taberna numularii in foro sita. 1111, 22.

O.

ὁ, ἡ, τὸ] ἔδει γὰρ τὸ καὶ τὸ ποιῆσαι, καὶ τὸ καὶ τὸ μὴ ποιῆσαι. 128, 17. εἰ τὸ καὶ τὸ ἐποίησεν, οὐκ ἂν ἀπέθανεν. 308, 3. τὰ καὶ τὰ πεπονθὼς ὁ δεῖνα παρ' ἐμοῦ. 560, 18. τὸ μὴ, pro ὥστε μή. ἀφῆκαν τὸ μὴ θανάτῳ ζημιῶσαι. 688, 27. οὐδὲ λόγος λείπεται τὸ μὴ οὐ πονηροῖς εἶναι. 722, 26. Iphicrates dictitabat δεῖν τὸν στρατηγὸν προαιρεῖσθαι κινδυνεύειν, ὅπως μὴ τὰ καὶ τὰ γενήσεται, ἀλλὰ τὰ —. 1457, 16. τὸ ῥᾷστον τοῖς ἀδικεῖν καὶ συκοφαντεῖν προῃρημένοις. id quod est factu facillimum. 904, 10. b) ὃ initio sententiæ, pro δι' ὅ. 368, 12. 779, 13. c) pro οὗτος. πᾶσιν ἐν τῷ τόπῳ, pro ἐν τούτῳ τῷ τόπῳ. 565, 25.

obliqua oratio. v. indicem grammaticum.

ὀβολὸς] τοῖν δυοῖν ὀβολοῖν πάντες μέμνηνται. pecuniæ theatricæ. 169, 1. τοὺς μὲν οὐκ ἔστι πλείονος, ἢ δυοῖν ὀβολοῖν, ἀξίους εἶναι. 169, 2. ἀλλ' ἐν τοῖν δυοῖν ὀβολοῖν ἐθεώρουν ἄν. 234, 24. διελάμβανον κατ' ὀβολὸν τοὺς ἄρτους. 918, 9. νῦν δὲ δραχμῇ καὶ χοῖ καὶ τέτταρσιν ὀβολοῖς τὸν δῆμον ὥσπερ ἀσθενοῦντα διάγουσι. 1459, ult.

Ὀβριμοπάτρη] epithetum Minervæ. 421, 27.

ὄγκος] πρὸς τηλικοῦτον ὄγκον τῶν πραγμάτων εὐκαταφρόνητος. 154, 20.

ὅδε] τάδε. res, opes, majestas, libertas, Græcorum, præsertim Atheniensium. 134, 4.

ὁδοίπορος. 439, 6.

ὁδοποιεῖν] ἐμπεσὸν τὸ ὕδωρ δὶς καὶ τρὶς τὰ χωρία ἐλυμαίνετο καὶ μᾶλλον ὡδοποίει. viam sibi patefaciebat. 1274, 27.

ὁδὸς] via quæcunque, seu publica, seu privata, seu proprio sensu, seu translato. τὴν τοῦ τὰ βέλτιστα λέγειν ὁδὸν ἀσφαλῆ παρασχήσει. 31, 19. τίς πεποίηκεν ἄχρι τῆς Ἀττικῆς ὁδὸν διὰ συμμάχων καὶ φίλων [subaudi, ἡμῖν ὄντων] εἶναι Φιλίππῳ. 448, 21. ἐὰν πολλὰς ὁδοὺς δῷ διὰ τῶν νόμων ἐπὶ ἠδικηκότας. 601, 18. εἰ κατορθώσειεν, ἣν ἐπ' ἐμὲ ἦλθεν ὁδόν. 702, 1. ἐφ' ἑκάστην ἀπαντᾷ τὴν ὁδὸν τῶν ἀδικημάτων. 712, 3. τῶν πρὸ ὁδοῦ τι περαίνοιτε. in itinere vestro proficiatis. 1443, 20. τὰς ὁδοὺς ἀγαπᾷ κατασκευάζουσα. semitas, vias publicas. 175, 3. ἐν ὁδῷ καθελών. in via publica. 637, 2. εἰς τὴν ἑτέραν ὁδὸν ἐλθόντες. in semitam vel angiportum proximum. 1157, 13. b) mensura distantiarum locorum inter se. τριῶν ἡμερῶν ὁδὸν ἀπὸ τῆς Ἀττικῆς τῆς μάχης γεγενημένης. 293, 13. c) processus, *Gang* [*course, progress*]. ἐὰν ταῦτα οὕτως εἰς ὁδὸν καταστῇ. hæc ubi semel fieri cœpta, et velut in viam immissa fuerint. *in den Gang gebracht, oder gekommen* [*set agoing, set afloat*]. 184, 16. ὁδῷ βαδίζειν ἐᾶν δεῖ. *man muss es seinen Gang gehen lassen* [*one must suffer it to take its course*]. 772, 18. d) ratio. modus. ἁπλῶς δὲ τὴν ὀρθὴν ὁδὸν περὶ τῶν δικαίων διαλέξομαι. 263, 23. ἐξ ἀρχῆς

εὐθὺς τὴν ὀρθὴν καὶ δικαίαν ὁδὸν τῆς πολιτείας εἱλόμην. 332, 4. τοῖς πονηροῖς ὅπως μὴ δώσουσι δίκην, ὁδὸν δείκνυσι. 733, 20.

ὀδυνηρὸς] εἰς τὸ μᾶλλον λυπεῖσθαι πάντων ὀδυνηρότατον. 1471, 4.

ὀδύρεσθαι] ἀπορῶ, τί πρῶτον ὀδύρωμαι τῶν παρόντων κακῶν. 1470, 12. ὀδύρεσθαι παρ' ὅλην τὴν ἐπιστολήν. 1473, 18. οὗτός ἐστιν ὁ τὰ Θηβαίων ὀδυρόμενος πάθη, Hermogenes citat p. 256, pen. et p. 351, ult.

ὅθεν] ab eo inde temporis articulo, quo—. 371, 4.

ὀθόνιον] ὀθόνια. *Segeltücher* [*sail-cloths*]. 1145, 6.

οἴδημα] *Schwulst* [*swelling*]. 1260, 18.

οἴεσθαι] αἰσχρὸν, ὕστερόν ποτ' εἰπεῖν, συμβάντος τινὸς, τίς γὰρ ἂν ᾤήθη ταῦτα γενέσθαι. 128, 15.

οἴκαδε] τὰς παρ' ἐκείνου δωρεὰς λαμβάνοντες οἴονται οἴκαδε λαμβάνειν. ultro sibi delata, quasi domum missa, gratuita esse, non mercedem operæ seu jam præstitæ, seu adhuc præstandæ. 80, pen. 157, 6. οἴκαδε ἀποφέρεσθαι τὴν ἀρὰν καὶ τὴν ἐπιορκίαν. 409, 22.

οἰκεῖν] οἱ χωρὶς οἰκοῦντες. 50, 22. ἢ ἐκείνους μὴ δεῖν ἐν Ὀλύνθῳ οἰκεῖν, ἢ αὐτὸν ἐν Μακεδονίᾳ. 113, 14. οὕτως ὠμῶς ἀνῃρέθησαν, ὥστε μηδένα, μηδ' εἰ πώποτ' ᾠκήθησαν, εἶναι ῥᾴδιον προσελθόντα εἰπεῖν. 117, 23. πάντες οἰκοῦμεν τὰς πόλεις, ἢ τῶν προγόνων παραδόντων, ἢ κατὰ πόλεμον κύριοι καταστάντες. 164, 27. πᾶσα ἡ οἰκουμένη μεστὴ γέγονε προδοτῶν. 242, 1. οἰκεῖν τὴν ἑαυτῶν [scil. χώραν, hoc est πολιτεύεσθαι] νόμοις. vitam civilem domi, in patria agere juxta præscriptum legum. 665, 27. οἰκήσεται ἡ πόλις, pro οἰκηθήσεται. 1341, 20.

οἰκεῖος] τὴν οἰκείαν καὶ τὴν ὑπάρχουσαν ἀδεῶς καρπούμενοι. 16, 18. πρὸς τοὺς οἰκείους πολέμους οἰκείᾳ χρῆσθαι δυνάμει συμφέρει. 168, 7. οἰκεῖος καὶ ἀναγκαῖος τῇ γραφῇ λόγος. 245, 3. οὐδέν μοι πρὸς τούτους οἰκεῖον, οὐδὲ κοινὸν γέγονε. 414, 25. οὐ τοὺς γεγραμμένους μόνον νόμους, ἀλλὰ καὶ τὰ τῆς φύσεως οἰκεῖα ἀναιρεῖ. 1117, 25. οἰκείους εἶναι τοὺς ναύτας τῆς τριήρους τῆς ληψομένης τὸν στέφανον. pertinere nautas ad eam navem, ejus esse, non alius, vel in ea mansisse, non illinc discessisse. 1233, 9.

οἰκειότης] οὐ γὰρ τὰ ῥήματα τὰς οἰκειότητας ἔφη βεβαιοῦν. non verba certis et firmis argumentis caritates approbare. verba non esse testes mentiri nescios voluntatum. *dass der oder iener mein Bruder, mein Schwager, mein Vetter heist, das ist darum noch lange kein Beweiss, darum noch keine giltige Bürgschaft dafür, dass er auch mein Freund sey* [*that any one is called my brother, my brother-in-law, my cousin, is yet far from being a proof, is still no sufficient pledge, that he is my friend also*]. 237, 11. libertas et fides in loquendo atque monendo, docendo, cohortando, corrigendo, quæ cernitur in familiaritate. 773, 15. οἰκειότητος ταύτης προσγενομένης. 814, 27. οὐκέτι τὴν κατὰ τοὺς νόμους οἰκειότητα ἔλιπεν ἑαυτῷ. 1088, 15. τὴν γὰρ τῆς οὐσίας οἰκειότητα, οὐ τὴν τῶν ἀνδρῶν τῶν ποιησαμένων, διετήρεις. operam dabas, ut substantiæ quidem, non autem eorum, qui vos adoptassent, necessarius haberere. h. e. pluris faciebas, te compotem hæreditatis esse ab illis relictæ, quam necessitudinis jura observare. 1088, 22.

οἰκειοῦν] ὃ μόνον ἔθνος, οὐχ ἅπασιν, ἀλλὰ τοῖς καλοῖς καὶ σώφροσιν οἰκειοῦσθαι πέφυκεν. 1402, 22.

οἰκέτης] οἰκέτου τάξιν, οὐκ ἐλευθέρου παιδὸς ἔχων. 313, 13. πῶς γὰρ δίκαιον ἐν οἰκέτου σώματι ἢ δύο ὠφληκέναι τάλαντα, ἢ τὸν συκοφαντοῦντα μηδὲν ζημιοῦσθαι. 978, 15. τίς δ' ἂν οἰκέτῃ παραχωρήσειε πολίτης τῶν ἑαυτοῦ. 981, 11. οἰκέτης ὑμῶν εἰ ἦν, οὐ πολίτης. 1048, ult. οἰκέτην διάκονον τρέφειν. 1359, 14.

οἰκέτωρ ἐν Σκύρῳ. domicilium haberet in Scyro, non ut civis, *nicht als ein Landeskind* [*not as a native*], sed ut inquilinus, adventitius. 1236, 22. conf. p. 1238, 23. ubi μέτοικος appellatur.

οἴκημα] œcus, camera, *Zimmer, Cammer, Behältniss* [*an apartment, chamber, conservatory*], apotheca, cella, ubi frumentum, oleum, vinum, ligna, alii tales rei rusticæ proventus reconduntur. παρεσημηνάμην τὰ οἰκήματα. 1040, 20. 1041, 12. ὃν ἐξῆχεν ἐκ τῶν οἰκημάτων σῖτον καὶ οἶνον καὶ τἄλλα, ἀφελὼν ἀπὸ τῶν θυρῶν τὰ σημεῖα. 1044, 25. b) carcer. 789, 2. εἰς τὸ οἴκημα ἂν ᾔει. 890, 13. καταθησόμενος ἡμᾶς εἰς τὸ οἴκημα. impetraturus, effecturus, ut magistratus nos in carcerem conjiciat. 1284, 2.

οἰκία] gens, genus, familia. ἐπὶ τὴν τυραννικὴν οἰκίαν ἐβοήθησεν. adversus tyrannos Thessaliæ, totamque eorum prosapiam et cognationem. 22, 8. γένος et οἰκία differunt. γένος sunt liberi, et descendentes necessarii: οἰκία adscendentes et collaterales. 642, 15. οἰκίας ᾤκει δύο. *er hatte eine doppelte Haushaltung, oder Wirthschaft* [*he had a double household, or establishment*], duas uxores una, binosque liberos et geminam rem familiarem. 1002, 13. εἰς τὴν οἰκίαν οὐκ εἰσῆλθεν· οὐ γὰρ ἡγεῖτο δίκαιον εἶναι, μὴ παρόντος γε τοῦ κυρίου. 1157, 16. ὥσπερ οἰκίας καὶ πλοίου τὰ κάτωθεν ἰσχυρότατα εἶναι δεῖ. 21, 4.

οἰκίδιον. 1319, 12. 1358, 6.

οἰκίσκος] κἂν ἐν οἰκίσκῳ τις αὐτὸν καθείρξας τηρῇ. 258, 20. Sic appellabant Attici, teste Harpocr. caveam aviculārem, *einen Vogelbauer, Taubenschlag, Hünersteige* [*a birdcage, dovecot, henhouse*];

ὀλιγωρεῖν] εἰ δὲ θατέρου τούτων ὀλιγωρήσετε. 14, 10. ὁρῶ δ' ὑμῶν ἐνίους Φίλιππον πολλάκις ὀλιγωροῦντας. 197, 26. τοῖς οὕτως ὠλιγωρημένοις. vobis, qui tam contemptim, susque deque tractamini. 217, 23. ὀλιγωροῦσι τοῦ δοκεῖν ἐπιεικεῖς εἶναι. 1233, 4.

ὀλιγωρία] levitas animi, supinitas, socordia, qua res summi faciendas, religionem, famam, salutem, parvi facimus. πλείστης ὀλιγωρίας καὶ ἀναιδείας μεστόν. 405, 13. 1269, 3. b) delictum, error. κατὰ τὴν τῆς ὀλιγωρίας ἀξίαν. *nach Maasse des Verbrechens [according to the measure of the crime]*. 249, pen.

ὀλίγωρος] οὐδεὶς οὕτως ὀλίγωρός ἐστιν, ὅστις οὐχὶ βοηθήσειεν ἄν. 764, 23. σοβαρὸν καὶ ὀλίγωρον αὐτοῦ τὸν τρόπον ὄντα εἰδυῖα. deum hominumque contemtorem. 1357, 25. ὦ λίαν ὀλίγωροι, οὔτε τοὺς ἄλλους, οὔτε ὑμᾶς αὐτοὺς αἰσχύνεσθε. 1483, 24.

ὀλιγώρως] οὐκ ὀλ. ὑμᾶς βουλευομένους εὑρήσει. 189, 10. ὀλ. καὶ ῥαθύμως φέροντες, 1383, 15. οὕτως αἰσχρῶς καὶ ὀλιγώρως ἐάσετε ὑβρίζουσαν εἰς τὴν πόλιν. 1381, ult.

ὀλολύζειν] ἐπὶ τῷ μηδένα πώποτε τηλικοῦτον ὀλολύξαι σεμνυνόμενος. 313, 20. ὀλολύζειν ὑπέρλαμπρον. 313, 22.

ὅλος] τὰ ὅλα, universa resp., subaudi πράγματα, aut συμφέροντα. τὰ μικρὰ συμφέροντα τῆς πόλεως ἔδει με φυλάττειν, τὰ δὲ ὅλα Φιλίππῳ πεπρακέναι. 234, 26. πλάσμα ὅλον ἐστὶν ἡ διαθήκη, [id est, δι' ὅλου]. totum testamentum aliud nihil est, quam impostura. 1110, 18. ὅλος πρὸς τῷ λήμματι. 380, 13.

Ὀλύμπια] sacrum, quod Jovi Olympio fiebat. ἐπειδὴ γὰρ Ὄλυνθον εἷλε Φίλιππος, Ὀλύμπια ἐποίει. Pellæ puta, aut ubicunque locorum esset, dummodo non Pisæ, in Peloponneso. 401, 13. b) Ὀλύμπια νικήσας [scil. παλαίσματα], in ludis Olympicis, παῖδας στάδιον. 1342, ult.

Ὀλυμπιᾶσιν] apud Olympiam. 561, 26.

ὀλύραι] milium. ὀλυρῶν τῶν ἐν τοῖς Θρακίοις σιροῖς. 100, ult. 135, 27.

ὅλως] denique, ut brevis sim, ut omnia uno verbo complectar. καὶ ζῶμεν ὅλως τὰ πρὸς ἡμᾶς αὐτούς. 760, 14. καὶ ὅλως μὴ νέος, μὴ πρεσβύτερος τὰ προσήκοντα πράττοι. 777, 20.

ὁμιλεῖν] ὅστις δ' ὁμιλῶν ἥδεται κακοῖς ἀνήρ. 417, 18.

ὁμιλία] οὐκ ἀσφαλεῖς ταῖς πόλεσιν αἱ πρὸς τοὺς τυράννους αὗται λίαν ὁμιλίαι. 71, 9. δώροις, ἢ δι' ἄλλης ἡστινοσοῦν ὁμιλίας, ἐξαρέσηται. 1396, 25. τὰς τῶν τυχόντων ὁμιλίας οὐ χρὴ προσδέχεσθαι. 1406, 21. ὁμιλίας τῆς τῶν θεῶν ἠξιώθησαν. 1410, 25. δι' ὁμιλίας πεῖσαι προσέχειν αὐτῷ τὸν νοῦν. 1468, 27. κρῖναι, τί τῶν πραγμάτων δυνατὸν ἐξ ὁμιλίας προσαγαγέσθαι. *durch Zureden [through persuasion]*, blandis adhortationibus et persuasionibus. 1466, 2.

ὄμμα] τῶν ὁρωμένων ἐπιφανεστάτου ὄντος τοῦ προσώπου, τούτου δ' αὐτοῦ τῶν ὀμμάτων. 1405, 5.

ὀμνύναι] ἀλλὰ καὶ τῷ τοὺς δικάζοντας ὑμᾶς ὀμωμοκέναι. 227, 17. ὤμνυε τὴν εἰρήνην. 236, 8. ὀμόσας τὸν ὅρκον. 679, 16. ὀμόσας καθ' ἱερῶν. 1306, 21. ἣν μηδεὶς ὑμῶν νομιζέτω καθ' ἡμῶν ποτ' ἂν ὀμνύναι ταῦτ' ἂν ἐθέλειν, εἰ μὴ σαφῶς ᾔδει τὰ εὔορκα ὀμουμένη. 852, 19. ὀμνύω τοὺς θεοὺς ἅπαντας. 622, 22.

ὁμογνωμονεῖν] περὶ ἄλλων πολλάκις ἀντιλέγοντες ἑαυτοῖς, εἰς τοῦθ' ὁμογνωμονοῦντες ἀεί. 281, 21.

ὁμογνώμων. 151, 13. 897, 5. 1345, 16. 1383, 16.

ὅμοιος] σὺ δὲ ὅμοιος, Αἰσχίνη; ὁ δ' ἀδελφὸς ὁ σός; 330, 25. οὐ μέτεστι τοῖς πολλοῖς ὑμῶν πρὸς τοὺς πλουσίους τῶν ἴσων οὐδὲ τῶν ὁμοίων. 551, 10. οὐδὲν ὅμοιος ὢν τούτῳ νομοθέτης. 601, 6. ὅμοιός γε Σόλωνι νομοθέτης Τιμοκράτης. 733, 16. ὅμοιός γε Δεινίας τούτῳ. cavillatio. 1118, 16. ὅμοιόν γε, (οὐ γὰρ) τοῦτο τοῖς προτέροις ἐπιγράμμασιν, ἢ φιλοτιμίαν ἴσην ἔχον ὑμῖν. 616, 16. ἐκεῖ γὰρ τῆς ἀρετῆς ἆθλον, τῆς πολιτείας κυρίῳ γενέσθαι μετὰ τῶν ὁμοίων. 489, 21.

ὁμοιοῦν] τοῖς ἐν τῷ πολέμῳ συμβαίνουσιν ὡμοιωμένων. 1408, 22.

ὁμοίως] perinde, omnino, *gleich durch die Bank weg [entirely, in the lump]*. πάντας ἀφαιρεῖσθαι κελεύουσιν ὁμοίως. 483, 5. b) idem quod ὅμως. nihilominus, hoc non obstante. 1119, 13.

ὁμολογεῖν] τί, τοὺς ὁμολογοῦντας ἐχθροὺς ἔχοντες, [id est, ὁμολογοῦντας, ὅτι εἰσὶν ἐχθροί,] ἑτέρους ζητοῦμεν. 181, 2. ὡμολογεῖτο ἂν ἡ κατηγορία τοῖς ἔργοις αὐτοῦ. 230, 2. οὐδεὶς πώποτε ὁμολογῶν ἀδικεῖν ἑάλωκεν. 408, 10. 1014, 27. ὁμολογηθεισῶν [τῶν χιλίων δραχμῶν puta] ἀπολαβεῖν [scil. ἐμὲ] ὅταν Πολύευκτος ἀποθάνῃ. cum inter nos condictum esset, ut ego has mille drachmas post excessum Polyeucti demum ferrem. 1029, 14. οὐδ' ὁμολογῆσαι περὶ τούτων οὐδενός. condixisse, recepisse se. 840, 2. ὡμολογεῖτο τὰ σημεῖα τῶν γραμμάτων ὑπὸ τῆς γυναικός. 1035, 17. ὁμολογουμένας πεποίηνται συνθήκας. ab utraque parte comprobata et pro ratis habita pacta. 235, 6.

ὁμολογία] τὸν κελεύοντα νόμον κυρίας εἶναι τὰς ὁμολογίας, ἃς ἂν ἐναντίον μαρτύρων ποιήσωνται. 1042, 22.

ὁμόνοια] τὴν πρὸς ἀλλήλους ὁμόνοιαν οὐκ ἦν πρίασθαι. 121, 3. τοῦτο πρῶτον ὑπάρχειν τῆς ὁμονοίας σημεῖον, κοινῇ διαλῦσαι τὰ χρήματα. 460, 19. ἄγοντες τὴν πόλιν ἐν ὁμονοίᾳ. 617, 27. ἐκ δὲ τούτων ἡ κοινὴ καὶ πάντων ἀγαθῶν αἰτία τῇ πόλει μένει καὶ καθέστηκεν ὁμόνοια. 797, 9. πρῶτον ἀπάν-

ὀπωρώνης. 314, 13.
ὅπως] οὐχ ὅπως ἀφελέσθαι, ἀλλ' — non solum nil detrahere, sed etiam —. 142, 6. 518, 11. v. in Ἐπιστ. ά. ὅπως μὴ ψεύσεται, 1466, 17. subaudi ὁράτω.
ὁπωστιοῦν] οὐδ' ὁπωστιοῦν ἐγνώριζον τοὺς ἀνθρώπους τούτους. 924, ult.
ὅραμα τοῦτο ἐποιεῖτο ὁ δῆμος αὐτοῦ καλὸν καὶ λυσιτελές. 1460, 26.
ὁρᾶν] τοὺς δὲ πολεμίους μηδὲ ὁρῶσι. 168, 1. πρὸς τοὺς νῦν ὅρα με ῥήτορας, πρὸς σαυτόν. specta me tecum, h. e. contende me ad te, compara me, et dijudica sic discrimen, quod nos intercedit. 331, 6. οὕτως ὁρῶσιν, ὥστε μὴ δοκεῖν ἑωρακέναι. 796, pen. οὕτως ὁρῶντες τὰ τῶν ἠτυχηκότων ἔργα, ὥστε, τὸ τῆς παροιμίας, ὁρῶντας μὴ ὁρᾶν, καὶ ἀκούοντας μὴ ἀκούειν. 797, 3. Φορμίωνα πάλιν ἑώρακε, rursus ad Phormionem respicit, observat, veneratur, ei se dedit, inservit, fidit, supplicat, καὶ τούτῳ γέγονεν οἰκεῖος, ἐξ Ἀθηναίων ἁπάντων τοῦτον ἐκλεξάμενος. 1120, pen. τί δήποτε οὐχ ἑώρα τὰ δίκαια ταῦτα. ad animum sibi revocabat, considerabat, meditabatur. 1478, 21. τοὺς λογισμοὺς ὁράτω τοὺς περὶ τούτων. 627, 10. οὐ δημοτικώτερον δήπου τὰ τῶν πολλῶν ἀδικήματα ὁρᾶν, ἢ τὰ τῶν ὀλίγων. 614, 11. πάνυ γὰρ παρὰ τοῦτο (οὐχ ὁρᾶς) γέγονε τὰ τῶν Ἑλλήνων πράγματα. 305, 3.
ὀργὰς] ἀποτεμνομένους τὴν ὀργάδα. 175, 25.
ὀργὴ] οὐ τοὺς αἰτίους ἐν ὀργῇ ποιεῖσθε. 14, 2. τούτῳ τὴν ὀργὴν, animadversionem, castigationem, εἰς τὰ ἄλλα ἔχετε. 259, 5. 556, 13. οὐκ ἴσην τὴν ὀργὴν ὁ νόμος ἔταξε τῷ δράσαντι, ἂν θ' ἑκὼν, ἄν τ' ἄκων. 528, 4. ὀργὴν ταύτην καὶ νῦν ἐπὶ τοῦτον λάβετε. 743, 22. ὀργὴν εἰ μὴ εἴχετε τῆς ἐκείνων πονηρίας μετριωτέραν. 1230, 21. εἴπερ, καταλαβὼν αὐτὸν, πρὸς ὀργὴν δήσαιμι, ἢ πατάξαιμι. 1251, ult. ὀργῇ περιπέπτωκα τῇ πρὸς ἅπαντας. 1470, 25. οὐκ ἂν εἰκότως ὀργὴν πρός ἐμε ποιήσειεν. 1471, 14. χάριν, ἂν ταύτης ἄξιος ᾖ, καὶ τοὐναντίον ὀργὴν, ἂν τοιαῦτα φαίνηται πεποιηκὼς, ποιεῖσθε. 370, 10. συναδικηθείημεν διὰ τὴν τοῦ πράγματος ὀργὴν, [id est, ὑπὲρ, vel κατά]. 1300, 11. ὅσοις πρόσεστιν ὀργὴ τῶν πραττομένων. iracundia ob delicta. 1105, 23. εἴ τι τῇ μητρὶ πρὸς ὀργὴν ἦλθε τῇ τούτων. si qua in re cum horum matre dissedit, ab ea offensus. 1001, 11. τῇ παρ' ὑμῶν ὀργῇ περιπεσεῖν συμβῇ. 74, 3. ὁρῶ γὰρ ἐνίους, οὐκ εἰς τοὺς αἰτίους, ἀλλ' εἰς τοὺς ὑπὸ χεῖρα μάλιστα [scil. ἥκοντας, vel ὄντας] τὴν ὀργὴν ἀφιέντας. 74, 6. τυγχάνειν ὀργῆς. 1478, 7. τίνος ὀργῆς τετυχήκασι παρ' ὑμῶν. 571, 11. οὐδεμιᾶς ὀργῆς — προϊστάμενος. 1469, 12. δημοσίας ὀργῆς καὶ τιμωρίας δίκαιός ἐστι τυγχάνειν. 525, 7.
ὀργίζεσθαι] οὕτως ὠργίσθη καὶ παρωξύνθη ὁ δῆμος. 514, 10. ὀργιζόμενοι ἐπὶ πάντων ὁμοίως φαίνεσθε. 574, 3. δόξετε ὀργιζόμενοι τούτων κατεγνωκέναι, οὐκ ἀδικούμενοι. 754, 22. τῶν ὀργιζομένων ἐστὶν ὀξέως κακόν τι τὸν λελυπηκότα ἐργάζεσθαι. 754, 24. ὀργίζεσθαι, μὴ τοῖς αἰτίοις, ἀλλὰ πᾶσιν ἐφεξῆς. 1447, 4. ὀργιεῖται Φίλιππος, εἰ καταψηφιεῖσθε τῶν πεποιημένων τὴν εἰρήνην πρὸς αὐτὸν, citat Apsines p. 698, 9.
ὀργίλος] ὀργίλους καὶ τραχεῖς ὑμᾶς ἔσεσθαι νομίζω. 73, pen.
ὀργίλως καὶ πικρῶς καὶ χαλεπῶς ἔχειν. 583, 12. ὀργ. ἔχειν μᾶλλον ἄξιον τοῖς μετ' εὐπορίας πονηροῖς, ἢ τοῖς μετ' ἐνδείας. 1121, pen. ὀργίλως ὑμᾶς ἔχειν εἰκός ἐστι ταῦτα πάσχοντας. 1447, 2.
ὀρθὸς] ἥδε [patria puta] ἐστὶν ἡ σώζουσα καὶ ταύτης ἔπι Πλέοντες ὀρθῆς. 419, 8. ἐὰν μὲν ὀρθότερον φανῇ τις λέγων, ὧν ὑμεῖς ὡρμήκατε. 1421, 24.
ὀρθῶς] ὀρθῶς καὶ καλῶς βουλευόμενοι, citat Hermogenes p. 245, 12. ex or. pro Corona. καὶ μάλα ὀρθῶς δοκεῖ. 101, 23. πολλάκις συμβαίνει τὸν αὐτὸν ἄνθρωπον τοῦτο μὲν λέγειν μὴ ὀρθῶς, ἕτερον δέ τι. 1421, 6. μὴ πάνθ', ὡς ἕκαστος ὑμῶν ἔχει γνώμης περὶ τῶν παρόντων, ὀρθῶς ἐγνωκέναι πεπεῖσθω. 1430, 5. οὐδ' ἰδίᾳ ῥᾴδιόν ἐστιν ἅπαντα ὀρθῶς πράττειν. 1450, 11. ὀρθῶς χρῆσθαι τοῖς καιροῖς. 12, 14. ὦ τί ἂν εἴπῶν σέ τις, ὀρθῶς προσείποι. 232, 21.
ὁρίζειν] τὴν εἰρήνην ταύτῃ ὁρίζονται. 91, ult. affirmare, asseverare. 115, 20. τοῖς γονεῦσι τὸν ὡρισμένον ἔρανον δικαίως φέρειν. 142, 1. Βυζάντιον ὁρίζειν τῆς τούτων χώρας. illorum [Selymbrianorum] agrum habere pro Byzantio, h. e. pro territorio Byzantino. 198, 16. ἃ γὰρ ὥρισω δίκαια, ὅτε Τίμαρχον ἔκρινες, ταὐτὰ δήπου ταῦτα καὶ κατὰ σοῦ προσήκει τοῖς ἄλλοις ἰσχύειν. 416, 18. ὁρίσας ὃ δίκαιόν ἐστιν. 615, 20. ὡρισμένοι χρόνοι. 643, ult. ὡρισμένος τὴν οἰκίαν δισχιλίων. cum domi curasset ὅρους, seu palos apponi, ad indicandum, eam pro viginti minis oppigneratam esse. 877, 11. ὁρίζειν τὸν χρόνον. 952, 21. τοῦτο τὸ δίκαιον οὐκ ἄλλος οὐδεὶς, ἀλλ' αὐτὸς σὺ σαυτῷ ὥρισας. 1291, 12.
ὁριστὴς] τῶν Ἑλληνικῶν δικαίων ὁρισταὶ τοῖς ἥττοσιν οἱ κρατοῦντες γίνονται. 199, 17.
ὁρκίζειν] ἢ οὐκ ἂν ὡρκίζομεν αὐτόν. sacramento adegissemus. 235, pen. 678, 5.
ὅρκος] τοὺς ὅρκους λαβεῖν τε παρ' αὐτοῦ καὶ δοῦναι [scil. αὐτῷ]. 235, 13. οἱ ὅρκοι ἐγίγνοντο ἐν πανδοκείῳ αἰσχρῶς καὶ ἀναξίως ὑμῶν. 390, pen. ἀποδιδόναι τινὶ τοὺς ὅρκους. 443, 15. ὅρκος Ἡλιαστῶν. 746, 18. παρὰ τὴν τοῦ δόντος, deferentis, ἐκείνῃ τὸν ὅρκον εὐήθειαν. 1002, 3. ὅρκος Γεραιρῶν. 1371, 22. κύριος ὢν τοῦδ' ὅρκου καὶ τῶν γραμματείων. 1301, 20. τὸν νόμιμον τοῖς φράτορσιν ὅρκον. 1315, 19. ἐμβαλομένου ἐμοῦ ὅρκον εἰς τὸν ἐχῖνον. 1203, 26. ἐπὶ τούτοις δίδωσι τὸν ὅρκον· ἡ δὲ δεξαμένη [scil. αὐτόν]. 995, 22.
ὁρμᾶν] πρὸς τὸν ἐκ Πέλλης ὁρμώμενον. e Pella

oriundum, vel inde prima elementa fortunarum et rerum gestarum adeptum. 78, 13. ἐκ τῶν πόλεων φυγάδας ὁρμήσαντας. 216, 5. et 7. πρὸς δὲ τοὺς παρὰ τούτου λόγους λαβὼν ὡρμηκότας ὑμᾶς. 356, 14. ὡρμηκότα τὸν ἄνθρωπον φίλον εἶναι. 685, 10. ὥρμησεν ἐπὶ ταύτην τὴν σκῆψιν. 917, 7. ὀρθότερον ὧν ὑμεῖς ὡρμήκατε. quam ea sunt, quæ vos cupiatis. 1421, 25. ὡρμηκὼς κατ' ἐμαυτὸν εὐνοϊκῶς ἔχειν σοι. 1490, 19. ὡς ὑμεῖς ἐκ τῆς ἀμελείας ταύτης τῆς ἄγαν [subaudi ἀνανήψαντες]—ἴσως ἂν ὁρμήσαιτε, [scil. πρός γενναῖόν τι ἐπιχείρημα]. 44, pen.

ὁρμεῖν] stare ad ancoram, vel in portu. οὐκ ἐπὶ τῆς αὐτῆς ὁρμεῖ τοῖς πολλοῖς, subaudi ἀγκύρας. *er hat mit der Bürgerschaft nicht einerley Interesse* [*he has not a common interest with the citizens*]. causa ei non est cum civibus communis, neque spes eadem, neque metus. 319, 18. ὥρμει τὸ πλοῖον ἐνταῦθα. 932, 19. μηδ' ἐπὶ δυοῖν ἀγκύραιν ὁρμεῖν αὐτοὺς ἐᾶτε. 1295, ult.

ὁρμὴ] εἰς ὁρμὴν τοῦ τὰ δέοντα ποιεῖν προτρέψαι. 309, 4.

ὁρμητήριον] ὁρμητήρια κατασκευασθησόμενα ἐφ' ὑμᾶς. 409, 6. portus, unde piratæ excursiones in circumjecta faciant. 445, pen. ὁρμητήριον τηρεῖν et καταλείπειν ἑαυτοῖς. 681, 5. et 11.

ὁρμίζειν] appellere navem ad continentem. περιπλέοντι καὶ ὁρμιζομένῳ εἰς τὰς νήσους. 80, 10. δέκα ναυσὶ μόναις εἰς Πέρινθον ὁρμισαμένων. 675, 14. ἔστιν ὅμοιον εἰς φωρῶν λιμένα ὁρμίσασθαι, ὥσπερ ἂν εἴ τις εἰς Αἴγιναν, ἢ εἰς Μέγαρα ὁρμίσαιτο. 932, 14.

ὄρνις] τὸν εἰς τοὺς ὄρνις εἰσιόντα. in forum pullarium, aviarium. 417, 21.

ὄροβοι] ὀρόβους ἴστε ὄντας ὠνίους. tanta erat annonarum caritas, ut vel ciceres magni venirent. 598, 4.

ὅρος] finis, terminus, meta, quo quid tendit, aut ubi desinit, sive proprie, sive translate; ut regionis, vitæ, spei et contentionis, inprimis pali ad domos agrosve fixi, ad indicandum, eos oppigneratos esse. ἃ τοῖς προτέροις Ἕλλησιν ὅροι καὶ κανόνες ἦσαν τῶν ἀγαθῶν, ἀνατετροφότες. 324, 26. ἁπάντων τούτων [scil. τῶν πραγμάτων, vel διώξεων, vel μέμψεων, vel ἀδικημάτων] ὅρος καὶ λύσις τοῖς παθοῦσι τέτακται τὸ πεισθέντας ἀφεῖναι. 983, 17. πᾶσι πάντων ἁμαρτημάτων ὅρος ἐστὶν ἡ τελευτή. 1478, 7. ὅρον [scil. τῆς ἐπιθυμίας] οὐδεὶς ἔχει τῶν εὖ πραττόντων. 658, 7. ἕνα ὅρον θέμενος, hac una meta sibi proposita, παντὶ τρόπῳ με ἀνελεῖν. 584, 24. ὅρον τοῦτον τεθείκατε τῇ βουλῇ. regulam, normam, præscriptum. 598, 7. πέρα τοῦ ὅρου ἐλαύνειν. ultra fines ditionis. 634, 13. τὴν ἐφορίαν ἀγορὰν ὅρον προγράψας. 633, 2. ἔστι πᾶσιν ὅρος τοῖς ἀνδροφόνοις εἴργεσθαι τῆς τοῦ παθόντος πατρίδος. 634, pen. οὐδεὶς ὅρος ἔπεστι τῇ ἐσχατιᾷ. 1040, 16. 1047, 23. τοὺς ὅρους ἀνασπᾶν. 1188, 3. οἱ τεθέντες ὅροι. 791, 6. et 11. τίθησιν ὅρους ἐπὶ μὲν τὴν οἰκίαν δισχιλίων, ἐπὶ δὲ τὸ χωρίον ταλάντου. 876, 9. τοὺς ὅρους ἀπὸ τῆς οἰκίας ἀφαιρεῖ. 876, 18. ἱστάνειν τοὺς ὅρους. 879, 11. et 27. ὅροι αὐτῆς [scil. τῆς οὐσίας] ἔστησαν. 1187, 19. διέθετο ὅρους ἐπιστῆσαι χιλίων δραχμῶν ἐμοὶ τῆς προικὸς ἐπὶ τὴν οἰκίαν. 1029, 27.

ὀρρωδεῖν] οὐκ ὀρρωδῶ, ἀλλὰ δυσωποῦμαι. 127, 25. μὴ χρὴ ὀρρωδεῖν τὴν ἐκείνου δύναμιν. 152, 9.

ὀρφανία] τὴν ὀρφανίαν ὀδύρεσθαι. 990, 8.

ὀρφανικὸς] τῶν ὀρφανικῶν [scil. χρημάτων]. 182, 15.

ὀρφανὸς τοῦ πατρὸς κατελείφθην. orbus patris, h. e. orbatus patre. pater adhuc puero mihi decessit. 1320, 19. προδοὺς τὸν ὀρφανόν. 1332, 18.

ὄρχεις] τοὺς ὄρχεις τοὺς ἐκ τῶν χοίρων. 1269, 10.

ὀρχεῖσθαι μεθυσθέντας τοιαῦτα, οἷα—[scil. ὀρχήματα]. 23, 16.

ὀρχήστρα] τετυπτῆσθαι ἐπὶ τῆς ὀρχήστρας μέσης, e Midiana refert Minucianus p. 150, 5.

